νόησον εἰς ἡμᾶς· κλῖνον, κύριε, τὸ οὖς σου καὶ ἄκουσον· [17]ἄνοι- 17
ξον, κύριε, τοὺς ὀφθαλμούς σου καὶ ἰδέ· ὅτι οὐχ οἱ τεθνηκότες
ἐν τῷ ᾅδῃ, ὧν ἐλήμφθη τὸ πνεῦμα αὐτῶν ἀπὸ τῶν σπλάγχνων
αὐτῶν, δώσουσιν δόξαν καὶ δικαίωμα τῷ κυρίῳ, [18]ἀλλὰ ἡ ψυχὴ 18
ἡ λυπουμένη ἐπὶ τὸ μέγεθος, ὃ βαδίζει κύπτον καὶ ἀσθενοῦν καὶ
οἱ ὀφθαλμοὶ οἱ ἐκλείποντες καὶ ἡ ψυχὴ ἡ πεινῶσα δώσουσίν σοι
δόξαν καὶ δικαιοσύνην, κύριε. [19]ὅτι οὐκ ἐπὶ τὰ δικαιώματα τῶν 19
πατέρων ἡμῶν καὶ τῶν βασιλέων ἡμῶν ἡμεῖς καταβάλλομεν τὸν
ἔλεον ἡμῶν κατὰ πρόσωπόν σου, κύριε ὁ θεὸς ἡμῶν, [20]ὅτι ἐνῆκας 20
τὸν θυμόν σου καὶ τὴν ὀργήν σου εἰς ἡμᾶς, καθάπερ ἐλάλησας
ἐν χειρὶ τῶν παίδων σου τῶν προφητῶν λέγων [21]Οὕτως εἶπεν 21
κύριος Κλίνατε τὸν ὦμον ὑμῶν καὶ ἐργάσασθε τῷ βασιλεῖ Βαβυ-
λῶνος καὶ καθίσατε ἐπὶ τὴν γῆν, ἣν ἔδωκα τοῖς πατράσιν ὑμῶν·
[22]καὶ ἐὰν μὴ ἀκούσητε τῆς φωνῆς κυρίου ἐργάσασθαι τῷ βασιλεῖ 22
Βαβυλῶνος, [23]ἐκλείψειν ποιήσω ἐκ πόλεων Ιουδα καὶ ἔξωθεν Ιερου- 23
σαλημ φωνὴν εὐφροσύνης καὶ φωνὴν χαρμοσύνης, φωνὴν νυμφίου
καὶ φωνὴν νύμφης, καὶ ἔσται πᾶσα ἡ γῆ εἰς ἄβατον ἀπὸ ἐνοικούν-
των. [24]καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς σου ἐργάσασθαι τῷ βασιλεῖ 24
Βαβυλῶνος, καὶ ἔστησας τοὺς λόγους σου, οὓς ἐλάλησας ἐν χερ-
σὶν τῶν παίδων σου τῶν προφητῶν τοῦ ἐξενεχθῆναι τὰ ὀστᾶ βα-
σιλέων ἡμῶν καὶ τὰ ὀστᾶ τῶν πατέρων ἡμῶν ἐκ τοῦ τόπου αὐ-
τῶν, [25]καὶ ἰδού ἐστιν ἐξερριμμένα τῷ καύματι τῆς ἡμέρας καὶ τῷ 25
παγετῷ τῆς νυκτός, καὶ ἀπεθάνοσαν ἐν πόνοις πονηροῖς, ἐν λιμῷ
καὶ ἐν ῥομφαίᾳ καὶ ἐν ἀποστολῇ. [26]καὶ ἔθηκας τὸν οἶκον, οὗ ἐπ- 26
εκλήθη τὸ ὄνομά σου ἐπ᾽ αὐτῷ, ὡς ἡ ἡμέρα αὕτη διὰ πονηρίαν
οἴκου Ισραηλ καὶ οἴκου Ιουδα. — [27]καὶ ἐποίησας εἰς ἡμᾶς, κύριε 27
ὁ θεὸς ἡμῶν, κατὰ πᾶσαν ἐπιείκειάν σου καὶ κατὰ πάντα οἰκτιρμόν
σου τὸν μέγαν, [28]καθὰ ἐλάλησας ἐν χειρὶ παιδός σου Μωυσῆ ἐν 28
ἡμέρᾳ ἐντειλαμένου σου αὐτῷ γράψαι τὸν νόμον σου ἐναντίον
υἱῶν Ισραηλ λέγων [29]Ἐὰν μὴ ἀκούσητε τῆς φωνῆς μου, ἦ μὴν ἡ 29
βόμβησις ἡ μεγάλη ἡ πολλὴ αὕτη ἀποστρέψει εἰς μικρὰν ἐν τοῖς
ἔθνεσιν, οὗ διασπερῶ αὐτοὺς ἐκεῖ· [30]ὅτι ἔγνων ὅτι οὐ μὴ ἀκού- 30
σωσίν μου, ὅτι λαὸς σκληροτράχηλός ἐστιν. καὶ ἐπιστρέψουσιν ἐπὶ
καρδίαν αὐτῶν ἐν γῇ ἀποικισμοῦ αὐτῶν [31]καὶ γνώσονται ὅτι ἐγὼ 31
κύριος ὁ θεὸς αὐτῶν. καὶ δώσω αὐτοῖς καρδίαν καὶ ὦτα ἀκούοντα,

16 εις > A† | ακουσον] pr. εισ A† || 17 init.] pr. και A | κυριε > B | τους > B† | τεθνεωτες A† | δωσουσιν] + σοι A || 18 ψυχη] + αυτου B*† | σοι δοξαν] tr. A† || 19 ημων paenult. > B || 20 εις] εφ A | λεγων > B† || 21 εργαζεσθαι(pro -θε) A†: cf. 22 | της γης ης A | δεδωκα B† || 22 εργαζεσθαι A(†): item in 24, cf. 21 || 23 πολεως A || 24 βασιλεων] pr. των A | και ult.] pr. και τα οστα των αρχοντων ημων A† | αυτων] -του A† || 25 εστιν] εισιν A || 26 οικον] + σου A || 28 ενωπιον A† || 29 μεγαλη] + και A | μικραν] μακρ. A || 30 ακουσ.] pr. εισ A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/755 UNIVERSITÄT LEIPZIG